τοὶ μόνοι λυσσῶσιν, ἀλλὰ κἄν τινας ἑτέρους [καὶ αὐτοὶ] ἐν τῇ μανίᾳ τὸ αὐτὸ τοῦτο διαθῶσι, καὶ αὐτοὶ ἔκφρονες γίγνονται. Συμμεταβαίνει γάρ τι τοῦ πάθους ἅμα τῷ δήγματι, καὶ πολυγονεῖται ἡ νόσος, καὶ πολλὴ γίγνεται τῆς μανίας διαδοχή. — Λουκ. Οὐκοῦν καὶ αὐτὸς ἡμῖν ἐρᾷν ὁμολογεῖς; — Ἑταῖρ. Πά- 3
νυ μὲν οὖν, καὶ προσέτι δέομαί γέ σου κοινήν τινα τὴν θεραπείαν ἐπινοεῖν. — Λουκ. Τὸ τοῦ ἄρα Τηλέφου ἀνάγκη ποιεῖν. 4
— Ἑταῖρ. Ποῖον αὖ λέγεις; — Λουκ. Ἐπὶ τὸν τρώσαντα ἐλθόντας, ἰᾶσθαι παρακαλεῖν.

## Θ΄. ΠΕΡΙ ΤΟΥ ΕΝΥΠΝΙΟΥ, ΗΤΟΙ ΒΙΟΣ ΛΟΥΚΙΑΝΟΥ (*).

ά. Ἄρτι μὲν ἐπεπαύμην εἰς τὰ διδασκαλεῖα φοιτῶν, ἤδη τὴν ἡλικίαν πρόσηβος ὤν· ὁ δὲ πατὴρ ἐσκοπεῖτο μετὰ τῶν φίλων, ὅ,τι καὶ διδάξαιτό με. Τοῖς πλείστοις οὖν ἔδοξε παιδεία μὲν 2
καὶ πόνου πολλοῦ, καὶ χρόνου μακροῦ, καὶ δαπάνης οὐ σμικρᾶς, καὶ τύχης δεῖσθαι λαμπρᾶς· τὰ δὲ ἡμέτερα μικρά τε εἶναι,

---

Λη. 2. Τὸ αὐτὸ τοῦτο διαθ.) Ἤτοι δάκωσί τινα.

3. Ἡμῖν) Πρὸς τὸ ὁμολογεῖς ἡ δοτική.

5. Τὸ τοῦ Τηλέφου) Τῶν Ἑλλήνων ἀποβάντων εἰς Μυσίαν, καὶ διὰ τὸ ἀγνοεῖν, λεηλατούντων τὴν χώραν ὡς τῆς Τροίας, Τήλεφος ἐκεῖ βασιλεύων τότε, μαχόμενος ἐπλήγη ὑπ' Ἀχιλλέως· φιλιωθέντων δὲ τῶν Μυσίων καὶ Ἑλλήνων, καὶ μὴ ἰωμένης τῆς πληγῆς τοῦ Τηλέφου, ὁ χρησμὸς ἀνεῖπε πρὸς τὸν τρώσαντα ἐλθόντα ἰᾶσθαι παρακαλεῖν. Ἀχιλλεὺς δὲ ἰάσατο αὐτὸν, συνθέμενον δεῖξαι τοῖς Ἕλλησι τὴν εἰς Τροίαν ἄγουσαν. Περὶ τούτου δὲ καὶ Πλούταρχος ἐν τῷ περὶ τοῦ ἀκούειν φησίν. » Οὐ γὰρ μόνον, ὡς » Εὐριπίδης φησὶ τὸ Τηλέφου τραῦμα » πριστοῖσι λόγχης θέλγεται ῥινήμασιν, » ἀλλὰ καὶ τὴν ἐκ τῆς φιλοσοφίας ἐμ» φυόμενον εὐφυέσι νέοις δηγμὸν αὐτὸς ὁ » τρώσας λόγος ἰᾶται. «

(*) Ἐνύπνιον ἐπιγέγραπται ὁ λόγος οὗτος, ὡς ἐνύπνιόν τι διηγουμένου τοῦ Λουκιανοῦ. Βίος δὲ, ὡς τὴν ἐξ ἀρχῆς αὐτοῦ κατάστασιν διηγουμένου. Τὸ δέ τοι Ἤτοι ἀντὶ τοῦ Ἢ, ἢ γοῦν ἐπεξηγηματικόν, ὡς εἰ ἔλεγε. Περὶ τοῦ Ἐνυπνίου τοῦ Λουκιανοῦ ὁ λόγος, μᾶλλον δὲ, ἢ, ἤγουν ὁ βίος τοῦ Λουκιανοῦ πρόκειται εἰς ἀνάγνωσιν. Ἔστι δὲ κατὰ μίμησιν τοῦ Προδίκου μύθου περὶ Ἡρακλέους Ξενοφ. Ἀπομν. Β΄. ά. 21. Προτρεπτικὸς δὲ μάλιστά ἐστιν εἰς παιδείαν ὁ λόγος οὗτος, διδάσκων τοὺς νέους παιδείας ἀντέχεσθαι, πράγματος ἀγαθοῦ καὶ πρὸς τὸν βίον χρησίμου.

ά. Ἄρτι μὲν ἐπεπαύμην) Τὸ Ἄρτι παρῳχημένον τι σημαῖνον μὴ πολὺ ἀφεστηκὸς τοῦ ἐνεστῶτος, καὶ τοιούτοις ἔδει χρόνοις συνταχθῆναι· ἤγουν Παρατατικῷ, ἢ Παρακειμένῳ, ἤγουν καὶ Ἀορίστῳ διὰ τὴν ἀόριστον αὐτοῦ ἔκτασιν· καὶ οὐχὶ Ὑπερσυντελικῷ, τῷ ἐπὶ πολὺ ἀφεστηκὸς τοῦ ἐνεστῶτος παρῳχημένον σημαίνοντι. Εἰ μή τις· ἀντὶ Παρακειμένου τῷ συζύγῳ αὐτῷ Ὑπερσυντελικῷ συντετάχθαι εἴποι. — Φοιτῶν) Τὰ παύσεως ἢ λήξεως ῥήματα ἔχουσι μετοχὴν ἐπιφερομένην ἀντὶ προθετοπτώτου ἀπαρεμφάτου, ἤτοι Ἐπεπαύμην φοιτῶν· ἀντὶ ἀπὸ φοιτῶν. — Τὴν ἡλικίαν πρόσηβος) Κατὰ τὴν ἡλικίαν πρόσηβος. Τὰ γὰρ ἐπίθετα, τὸ μέρος ὁρίζοντα, πρὸς αἰτιατικὴν ἐλλειπτικῶς τῆς Κατὰ ὡς ἐπὶ τὸ πλεῖστον φέρονται. Πρόσηβος δὲ, ὁ πρὸς τοὺς ἐφήβους πλησίον ὤν· οἱ δ' ἔφηβοι ἀπὸ τῶν δεκατεσσάρων ἄρχονται ἐτῶν. — Ὅ,τι καὶ διδάξαιτό με) Εἰς τίνος δηλονότι διδάσκαλον τέχνης ἢ ἐπιστήμης πέμψει με μαθησόμενον.

2. Καὶ τύχης δεῖσθαι λαμπρᾶς) Λαμπρὰν τύχην ἐνταῦθα δοκεῖ λέγειν τὴν λαμπρὰν οὐσίαν. Τοὺς γὰρ πλουσίους καὶ πολλὰς προσόδους ἔχοντας, τούτους καλοῦμεν λαμπροὺς τὴν τύχην. Εἰσὶ δέ τοι καὶ ἄλλα ἐν ἑκάστῃ ἐπιτηδεύσει τὰ τυχηρά· εἴ τις οὖν καὶ ταῦτα ἐννοεῖν, βούλοιτο, οὐδὲν κωλύει. — Μικρά τε εἶν.) Ἀπὸ κοινοῦ τὸ, Ἔδοξε τοῖς πλείστοις.

3 καὶ ταχεῖάν τινα τὴν ἐπικουρίαν ἀπαιτεῖν. Εἰ δέ τινα τέχνην τῶν βαναύσων τούτων ἐκμάθοιμι, τὸ μὲν πρῶτον εὐθὺς ἂν αὐτὸς ἔχειν τὰ ἀρκοῦντα παρὰ τῆς τέχνης, καὶ μηκέτι οἰκόσιτος εἶναι, τηλικοῦτος ὤν· οὐκ εἰς μακρὰν δὲ καὶ τὸν πατέρα εὐφρανεῖν, ἀποφέρων ἀεὶ τὸ γιγνόμενον.

β΄. Δευτέρας οὖν σκέψεως ἀρχὴ προὐτέθη, τίς ἀρίστη τῶν τεχνῶν, καὶ ῥάστη ἐκμαθεῖν, καὶ ἀνδρὶ ἐλευθέρῳ πρέπουσα, καὶ πρόχειρον ἔχουσα τὴν χορηγίαν, καὶ διαρκῆ τὸν πόρον. Ἄλ-
2 λου τοίνυν ἄλλην ἐπαινοῦντος, ὡς ἕκαστος γνώμης ἢ ἐμπειρίας εἶχεν, ὁ πατὴρ εἰς τὸν θεῖον ἀπιδὼν, (παρῆν γὰρ ὁ πρὸς μητρὸς θεῖος, ἄριστος ἑρμογλύφος εἶναι δοκῶν, καὶ λιθοξόος ἐν τοῖς μάλιστα εὐδόκιμος) οὐ θέμις, εἶπεν, ἄλλην τέχνην ἐπικρατεῖν,
3 σοῦ παρόντος· ἀλλὰ τοῦτον ἄγε, δείξας ἐμὲ, καὶ δίδασκε παραλαβὼν λίθων ἐργάτην ἀγαθὸν εἶναι, καὶ συναρμοστὴν καὶ ἑρμογλυφέα· δύναται γὰρ, καὶ τοῦτο φύσεώς γε, ὡς οἶσθα, ἔχων δε-
4 ξιῶς· ἐτεκμαίρετο δὲ ταῖς ἐκ τοῦ κηροῦ παιδιαῖς. Ὁπότε γὰρ ἀφεθείην ἀπὸ τῶν διδασκάλων, ἀποξέων ἂν τὸν κηρὸν, ἢ βόας,

— Καὶ ταχεῖάν τινα τὴν ἐπικουρίαν) Ὁ νοῦς. Ἡ δὲ ἡμετέρα κατάστασις ταπεινὴ, καὶ ἄπορος οὖσα, ἀπαιτεῖ, ὡς ἔδοξε τοῖς πλείστοις, τέχνην, ἥτις μετὰ μικρὸν παρέξει τὴν ἀπ' αὐτῆς βοήθειαν εἰς τὸ ζῆν, καὶ ὠφέλειαν.

3. Τῶν βαναύσων) Βάναυσος πᾶς τεχνίτης διὰ πυρὸς ἐργαζόμενος· παρὰ τὸ τοὺς βάνους αὔειν· τοῦτ' ἔστι, τὰς καμείνους καίειν· καταβέβηκε δὲ ἡ λέξις καὶ εἰς τὸ πάντα χειροτέχνην δηλοῦν. — Εὐθὺς ἂν αὐτὸς ἔχειν) Ἐννοεῖται, ἐδόκουν τοῖς πλείστοις. Ὅθεν καὶ τὸ, αὐτὸς, καὶ, Οἰκόσιτος καὶ, τηλικοῦτος ὢν, κατ' ὀνομαστικὴν ἐτέθησαν, πρὸς τὸ ἐδόκουν ἀποδιδόμενα. — Οὐκ εἰς μακρὰν) Ἀπὸ κοινοῦ τὸ, ἐδόκουν. — Ἀποφέρων ἀεὶ) Προσφέρων δηλ. τῷ πατρὶ τὸ καθ' ἡμέραν ἐκ τῆς τέχνης κέρδος.

β΄. Ἀρχὴ προὐτ.) Οὐδὲν ἄλλο δηλαδὴ ἐσκέψαντο, ἀλλ' ἢ αὕτη ἡ ἀρχὴ τῆς δευτέρας σκέψεως· τίς ἀρίστ. καὶ τλ. — Καὶ ἀνδρὶ ἐλευθ.) Ἀνὴρ ἐλεύθερος, ὁ μὴ δοῦλος ὢν, ἀργυρώνητος ὑπάρχων. — Καὶ πρόχ. ἔχ. τὴν χορηγ.) Ἥ τις ἂν καθ' ἡμέραν παρέχοι τὰ ἀναγκαῖα καὶ ἱκανά.

2. Ὡς ἕκαστ. γνώμ. ἢ ἐμπ. εἶχ.) Ὁ νοῦς. Ἣν περ ἕκαστος ᾤετο τοιαύτην, καὶ ἣν ἔτυχεν ἔχων ἐμπειρίαν. Τὸ δὲ ἔχω μετὰ ἐπιρρήματος καὶ γενικῆς ἐστιν ἀντὶ τοῦ Διάκειμαι· οἷον· ὡς ἕκαστος διέκειτο τὴν γνώμην καὶ ἐμπειρίαν· ἢ καθ' ἣν ἕκαστος εἶχε γνώμην, καὶ ἐμπειρίαν. — Ἐν τοῖς μάλιστα εὐδόκ.) Ἀντὶ καὶ, Λιθοξόος εὐδοκιμώτατος· ἢ μάλιστα εὐδόκιμος. Ἀντὶ δὲ τοῦ, Μάλιστα ἐτέθη τὸ, ἐν τοῖς μάλιστα, εἰθισμένον ὄν· καὶ γὰρ Αἰλιαν. Ποικίλ. Ἱστορ. Α΄. λά. Νόμος ἐν τοῖς μάλιστα φυλαττόμενος, ἀντὶ Μάλιστα φυλαττόμενος· καὶ Λουκιαν. Ἀλεκτρ. Ἐν τοῖς μάλιστα θαυμάζεσθαι ἄξιος· καὶ Πλούταρχ. ἐν Κοριολ. Ἦν γὰρ ἐν τοῖς μάλιστα δεινὸς εἰπεῖν· καὶ Διονύσ. Ἁλικαρν. Α΄. Τὸ τῶν Τρώων ἔθνος Ἑλληνικὸν ἐν τοῖς μάλιστα ἦν· καὶ Θουκυδ. Π΄. ϟ΄. Ἀνὴρ ἐν τοῖς μάλιστα καὶ ἐκ πλείστου ἐναντίος τῷ δήμῳ. Ἔστιν οὖν τοιοῦτο. Ἦν λιθοξόος εὐδόκιμος μάλιστα ἐν τοῖς εὐδοκίμοις τῶν λιθοξόων· ὥσπερ τὸ εὐδόκιμος ἐν λόγοις.

3. Φύσεως ἔχων δεξ.) Δεξιῶς λαχὼν φύσεως· ἔχων εἰς τοῦτο ἐπιτηδειότητα.

4. Ὁπότε γὰρ ἀφεθ.) Πρὸς εὐκτικὸν τὸ Ὁπότε· περὶ γὰρ παρῳχημένου ὁ λόγος. Διδασκάλους δὲ ἐκάλουν τοὺς διδάσκοντας τὴν τῶν γραμμάτων ἀνάγνωσιν. — Ἀποξέων ἂν) Βεβαιωτικὸς δοκεῖ ὁ Ἂν, εἰ γοῦν παρέλκει· ὡς εἰ ἔλεγεν· Ἀφεθεὶς ἀπὸ τῶν διδασκάλων, οὐδὲν ἕτερον ἐποίουν παίζων, ἢ ἀποξέων

ἢ ἵππους, ἢ καὶ νὴ Δί' ἀνθρώπους ἀνέπλαττον, εἰκότως, ὡς ἐδό-
κουν τῷ πατρί· ἐφ' οἷς παρὰ μὲν τῶν διδασκάλων πληγὰς ἐ- 5
λάμβανον· τότε δὲ ἔπαινος ἐς τὴν εὐφυΐαν καὶ ταῦτα ἦν· καὶ
χρηστὰς εἶχον ἐπ' ἐμοὶ τὰς ἐλπίδας, ὡς ἐν βραχεῖ μαθήσο-
μαι τὴν τέχνην, ἀπ' ἐκείνης γε τῆς πλαστικῆς.

γ΄. Ἅμα τε οὖν ἐπιτήδειος ἐδόκει ἡμέρα τέχνης ἐνάρχεσθαι,
κἀγὼ παρεδιδόμην τῷ θείῳ, μὰ τὸν Δί' οὐ σφόδρα τῷ πράγ-
ματι ἀχθόμενος· ἀλλά μοι καὶ παιδιάν τινα οὐκ ἀτερπῆ ἐδό- 2
κει ἔχειν, καὶ πρὸς τοὺς ἡλικιώτας ἐπίδειξιν, εἰ φαινοίμην θεούς
τε γλύφων, καὶ ἀγαλμάτιά τινα μικρὰ κατασκευάζων ἐμαυ-
τῷ τε, κἀκείνοις, οἷς προῃρούμην. Καὶ τό γε πρῶτον ἐκεῖνο καὶ 3
σύνηθες τοῖς ἀρχομένοις ἐγίγνετο· ἐγκοπέα γάρ τινά μοι δοὺς
ὁ θεῖος, ἐκέλευσέ μοι ἠρέμα καθικέσθαι πλακὸς ἐν μέσῳ κει-
μένης, ἐπειπὼν τὸ κοινόν, Ἀρχὴ δέ τοι ἥμισυ παντός. Σκλη- 4
ρότερον δὲ κατενεγκόντος ὑπ' ἀπειρίας, κατεάγη μὲν ἡ πλάξ·
ὁ δὲ ἀγανακτήσας, σκυτάλην τινὰ κειμένην πλησίον λαβών, οὐ
πρᾴως, οὐδὲ προτρεπτικῶς μου κατήρξατο, ὥστε δάκρυά μοι
τὰ προοίμια τῆς τέχνης.

δ΄. Ἀποδρὰς οὖν ἐκεῖθεν ἐπὶ τὴν οἰκίαν ἀφικνοῦμαι, συνε-
χὲς ἀνολολύζων, καὶ δακρύων τοὺς ὀφθαλμοὺς ὑπόπλεως· καὶ
διηγοῦμαι τὴν σκυτάλην, καὶ τοὺς μώλωπας ἐδείκνυον· καὶ κα- 2
τηγόρουν πολλήν τινα ὠμότητα, προσθείς, ὅτι ὑπὸ φθόνου ταῦ-
τα ἔδρασε, μὴ αὐτὸν ὑπερβάλωμαι κατὰ τὴν τέχνην. Ἀγα-
νακτησαμένης δὲ τῆς μητρός, καὶ πολλὰ τῷ ἀδελφῷ λοιδο-

---

τὸν χηρὸν καὶ τλ. — Εἰκότως) Κατὰ τὸ εἰκός. Ἐπιτηδείως δηλαδὴ καὶ κατὰ τέχνην. Οὕτω γὰρ ἐδόκουν τῷ πατρὶ ἀναπλάττειν τὰ τοιαῦτα.

5. Ἐφ' οἷς) Ἔργοις. Διὰ ταύτας δηλ. τὰς παιδιὰς παρὰ μὲν καὶ τλ. — Ἀπ' ἐκείνης γε τῆς πλαστ.) Εἰκάζοντες ἢ ἐλπίζοντες.

γ΄. 2. Εἰ φαινοίμην) Ἀνάλυσις τοῦ ὀνομαστικοῦ ἀπαρεμφάτου. Οἷον· ἀλλὰ τὸ φανῆναι θεοὺς γλύφοντα καὶ τλ. ἐδόκει μοι ἔχειν παιδιάν τινα.

3. Καθικέσθαι πλακ.) Καταγαγεῖν τὸν ἐγκοπέα ἐπὶ τῆς πλακός, ἱκέσθαι κατὰ πλακός. — Ἀρχὴ δέ τι ἥμισ.) Ἐν δὲ Ἑρμοτίμῳ Λουκιαν. γ΄. φησίν. Ἀλλὰ τήν γε ἀρχὴν ὁ Ἡσίοδος ἥμισυ τοῦ παντὸς ἔφη εἶναι. Ὅθεν δοκεῖ εἰλῆφθαι τὸ παροιμιῶδες τουτὶ ἐκ τῶν Ἡσιόδου ἐν Ἔργοις στιχ. 40. — Ὅσῳ πλέον ἥμισυ παντός. Ἔστι δὲ παροιμία ὡς Πλάτων περὶ νόμων ς΄. φησίν. Ἀρχὴ γὰρ λέγεται ἥμισυ παντός, ἐν ταῖς παροιμίαις, ἔργου λέγεται δὲ ἐπὶ τῶν εἴς τι προκοπτόντων.

4. Κατενεγκόντ.) Ἐμοῦ δηλ. — Κατήρξατ.) Τὸ Κατάρχομαι ἐπὶ θυσιῶν λαμβάνεται· ὅτι προθύματά τινα ἐκ κριθῶν ἁλσὶ μεμιγμένων οἱονεί τινας ἀπαρχὰς ἐγχέοντες τοῖς βωμοῖς οἱ ἀρχαῖοι Ἕλληνες, κατάρχειν ἔλεγον. Οὕτως οὖν καὶ ὁ θεῖος ἤρξατο ἐκ πρώτης ἡμέρας.

— Δάκρυά μοι) Ἐννοεῖται, Εἶναι. Ὥστε τὴν ἀρχὴν τῆς τέχνης μοι εἶναι, φησί, δάκρυα.

δ΄. Καὶ δακρ. τοὺς ὀφθαλμοὺς ὑπόπλ.) Καὶ ὢν ὑπόπλεως κατὰ τοὺς ὀφθαλμοὺς δακρύων· καὶ ἔχων τοὺς ὀφθαλμοὺς ἔμπλεως δακρύων.

2. Κατηγόρουν) Τοῦ θείου δηλ. — Μὴ αὐτὸν ὑπερβ.) Ἐννοεῖται, Φοβούμενος μή.

3 ρησαμένης, ἐπεὶ νὺξ ἐπῆλθε, κατέδαρθον ἔτι ἔνδακρυς, καὶ τὴν
νύχθ᾽ ὅλην ἐννοῶν.

ε. Μέχρι μὲν δὴ τούτων γελάσιμα καὶ μειρακιώδη τὰ εἰ-
ρημένα· τὰ μετὰ ταῦτα δὲ οὐκέτι εὐκαταφρόνητα, ὦ ἄνδρες,
ἀκούσεσθε, ἀλλὰ καὶ πάνυ φιληκόων ἀκροατῶν δεόμενα· ἵνα γὰρ
καθ᾽ Ὅμηρον εἴπω,

. . . Θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος, Ἀμβροσίην διὰ νύκτα,

ἐναργὴς οὕτως, ὥστε μηδὲν ἀπολείπεσθαι τῆς ἀληθείας· ἔτι
γοῦν καὶ μετὰ τοσοῦτον χρόνον, τά τε σχήματά μοι τῶν φα-
νέντων ἐν τοῖς ὀφθαλμοῖς παραμένει, καὶ ἡ φωνὴ τῶν ἀκου-
σθέντων ἔναυλος· οὕτω σαφῆ πάντα ἦν.

ϛ. Δύο γυναῖκες λαβόμεναι ταῖν χεροῖν εἷλκόν με πρὸς ἑαυ-
τὴν ἑκατέρα μάλα βιαίως καὶ καρτερῶς· μικροῦ γοῦν με διε-
2 σπάσαντο πρὸς ἀλλήλας φιλοτιμούμεναι· καὶ γὰρ ἄρτι μὲν ἂν
ἡ ἑτέρα ἐπεκράτει, καὶ παρὰ μικρὸν ὅλον εἶχέ με, ἄρτι δὲ
ἂν αὖθις ὑπὸ τῆς ἑτέρας εἰχόμην. Ἐβόων δὲ πρὸς ἀλλήλας ἑ-
κατέρα, ἡ μὲν, ὡς αὐτῆς ὄντα με κεκτῆσθαι βούλοιτο· ἡ δὲ,
3 ὡς μάτην τῶν ἀλλοτρίων ἀντιποιοῖτο. Ἦν δὲ ἡ μὲν ἐργατική,
καὶ ἀνδρικὴ, καὶ αὐχμηρὰ τὴν κόμην, τὼ χεῖρε τύλων ἀνά-
πλεως, διεζωσμένη τὴν ἐσθῆτα, τιτάνου καταγέμουσα, οἷος ἦν
ὁ θεῖος, ὁπότε ξέοι τοὺς λίθους· ἡ ἑτέρα δὲ μάλα εὐπρόσωπος,
4 καὶ τὸ σχῆμα εὐπρεπὴς, καὶ κόσμιος τὴν ἀναβολήν. Τέλος δ᾽

---

3. Κατέδαρθ.) Τὸ ῥῆμα Δαρθάνω· σημαίνει δὲ τὸ κοιμῶμαι. — Καὶ τὴν νύχθ᾽ ὅλ.) Καὶ καθ᾽ ὅλην τὴν νύκτα. Σημείωσαι ὅτι τὸ μὲν τ ἐτράπη εἰς θ διὰ τὴν ἑπομένην δασεῖαν· τὸ δὲ κ εἰς χ διὰ τὸ μὴ δύνασθαι κεῖσθαι ψιλὸν πρὸ δασέος ἐν Ἑλληνικῇ λέξει.

ε. Τὰ μετὰ ταῦτα καὶ τλ.) Ἀκούσεσθε δέ μου, ὦ ἄνδρες, τὰ μετὰ ταῦτα συμβεβηκότα λέγοντος, οὐχ᾽ ὡς εὐκαταφρόνητά τινα ὄντα, ἀλλὰ δεόμενα καὶ πάνυ φιληκόων ἀκροατῶν. Οὕτω γὰρ κατὰ σύνταξιν ἐκφραζόμενον τὸ χωρίον εὐξύνετον γίνεται.

— Θεῖός μοι ἐνύπν.) Λόγοι δὲ οὗτοι τοῦ Ἀγαμέμνονος πρὸς τοὺς Ἕλληνας· ὅτε ἐκκλησίαν ἐποιήσατο ὑπὲρ τοῦ κατὰ τῆς Τροίας ὁρμῆσαι τοὺς Ἕλληνας. Ὅμηρ. Ἰλ. Β. στίχ. 56. ὁ δὲ νοῦς. Καθ᾽ ὕπνον ἦλθέ μοι ἐκ θεοῦ ἐν νυκτὶ ἀβροσερᾷ ὄνειρος, οὕτως ἐναργής· ὥστε σχεδὸν ἦν ἀληθῆ τὰ παρ᾽ αὐτοῦ πάντα.

ϛ. Δύο γυναῖκ.) Πρόδικος ὁ σοφὸς, διδάσκαλος Σωκράτους, καθ᾽ ὕπαρ, φησὶν, εἶδε Ἡρακλῆς δύο γυναῖκας Ἀρετὴν καὶ Κακίαν. Ξενοφ. Ἀπομν. Β΄. α΄. 21. Λουκιανὸς δὲ καθ᾽ ὕπνους Ἑρμογλυφικὴν καὶ Παιδείαν· ἐπέπλαστο δὲ τοῦτο τὸ ὄνειρον, δοκεῖ, ἐξ ἐκείνου. — Μικροῦ γοῦν) Δεῖν ἐλλείπει. Ἤτοι, Μικροῦ ἐδέησεν, ὥστε με διασπάσασθαι, ἕλκουσαι· οὕτως ἐφιλοτιμοῦντο πρὸς ἀλλήλας.

2. Ἄρτι μὲν ἂν) Νῦν μὲν σχεδὸν· τοῦτο δύναται ὁ Ἄν. — Παρὰ μικρὸν) Ὅμοιον τοῦτο τῷ Ὀλίγου δεῖν· τοιοῦτο καὶ τὸ Παρ᾽ ὀλίγον.

— Ἀντιποιεῖτο) Ἡ ἑτέρα δηλ. τοῦτο δέ ἐστι ταὐτὸ τῷ, ὡς αὐτῆς ὄντα με κεκτῆσθαι βούλοιτο.

3. Ἀνάπλεως) Πλήρεις ἔχουσα τὰς χεῖρας τύλων. Τὸ δὲ Τὼ χεῖρε, Ἀττικῶς ἄρθρῳ ἀρσενικῷ ἐν τοῖς δυϊκοῖς τὰ θηλυκὰ συντάσσονται. Τὸ δὲ τὴν κόμην, τὼ χεῖρε, τὴν ἐσθῆτα, συνεκδοχικά· κατ᾽ ἔλλειψιν τῆς Κατά. — Ὁπότε ξέοι) Πρὸς εὐκτικὸν διὰ τὸ παρῳχημένον τοῦ λόγου. — Τὸ σχῆμα) Κατὰ τὸ σχῆμα ὥσπερ καὶ κατὰ τὴν ἀναβολήν.

τῶν ἐφιᾶσί μοι δικάζειν, ὁποτέρᾳ βουλοίμην συνεῖναι αὐτῶν. Προτέρα δὲ ἡ σκληρὰ ἐκείνη καὶ ἀνδρώδης ἔλεξεν.

ζ΄. Ἐγώ, φίλε παῖ, Ἑρμογλυφικὴ τέχνη εἰμί, ἣν χθὲς ἤρξω μανθάνειν, οἰκεία τέ σοι καὶ συγγενὴς οἴκοθεν· ὅ, τε γὰρ πάππος σου (εἰποῦσα τοὔνομα τοῦ μητροπάτορος,) λιθοξόος ἦν, καὶ τὼ θείω ἀμφοτέρω, καὶ μάλα εὐδοκιμεῖτον δι᾽ ἡμᾶς· εἰ δὲ θέλεις 2
λήρων μὲν καὶ φληνάφων τῶν παρὰ ταύτης ἀπέχεσθαι (δείξασα τὴν ἑτέραν), ἕπεσθαι δὲ καὶ συνοικεῖν ἐμοί· πρῶτα μὲν θρέψη γεννικῶς, καὶ τοὺς ὤμους ἕξεις καρτερούς, φθόνου δὲ παντὸς ἀλλότριος ἔσῃ, καὶ οὔ ποτε ἄπει ἐπὶ τὴν ἀλλοδαπήν, τὴν πατρίδα καὶ τοὺς οἰκείους καταλιπών· οὐδὲ ἐπὶ λόγοις ἐπαινέσονταί σε πάντες.

η΄. Μὴ μυσαχθῇς δὲ τοῦ σώματος τὸ εὐτελές, μηδὲ τῆς ἐσθῆτος τὸ πιναρόν· ἀπὸ γὰρ τῶν τοιούτων ὁρμώμενος καὶ Φειδίας ἐκεῖνος ἔδειξε τὸν Δία, καὶ Πολύκλειτος τὴν Ἥραν εἰργάσατο, καὶ Μύρων ἐπῃνέθη, καὶ Πραξιτέλης ἐθαυμάσθη· προσκυνοῦνται γοῦν οὗτοι μετὰ τῶν θεῶν. Εἰ δὴ τούτων εἷς γένοιο, πῶς μὲν οὐ 2
κλεινὸς αὐτὸς παρὰ πᾶσιν ἀνθρώποις γένοιο; ζηλωτὸν δὲ καὶ τὸν πατέρα ἀποδείξεις, περίβλεπτον δὲ ἀποφανεῖς καὶ τὴν πατρίδα.
Ταῦτα καὶ ἔτι τούτων πλείονα διαπταίουσα, καὶ βαρβαρίζουσα 3
πάντοθεν, εἶπεν ἡ Τέχνη, μάλα δὴ σπουδῇ συνείρουσα, καὶ πείθειν με πειρωμένη· ἀλλ᾽ οὐκέτι μέμνημαι· τὰ πλεῖστα γὰρ ἤδη μου τὴν μνήμην διέφυγεν. Ἐπεὶ δ᾽ οὖν ἐπαύσατο, ἄρχεται ἡ ἑτέρα ὧδέ 4
πως.

θ΄. Ἐγὼ δέ, ὦ τέκνον, Παιδεία εἰμὶ ἤδη συνήθης σοι, καὶ

---

— Ὁποτέρᾳ... αὐτῶν) Διαιρετικῶς γὰρ τὰ τοιαῦτα πρὸς γενικήν.

ζ. Ἀμφοτέρ.) Λιθοξόω ἐστὸν, καὶ μάλα εὐδοκιμεῖτον· κατὰ δυϊκὸν ἀριθμόν ἐστὶ τοῦ, Καὶ ἀμφότεροι οἱ θεῖοί σου λιθοξόοι εἰσί, καὶ μάλα εὐδοκιμοῦσιν ἐν τῇ τέχνῃ δι᾽ ἐμέ. Πληθυντικῶς δὲ τὸ Δι᾽ ἡμᾶς ἐκφέρει μεγαλοπρεπεστέρῳ, ὡς θεά τις δηλονότι ἐχρήσατο.

2. Θρέψη γεννικ.) Θρέψεις δηλ. σεαυτὸν ἐῤῥωμένῃ τροφῇ· τὸ δὲ μέσον ὡς ἐπ᾽ αὐτοπαθείαν· τὸ δὲ ῥῆμα, τρέφω. — Καὶ τοὺς ὤμους ἕξεις καρτ.) Καὶ ἔσῃ δηλονότι εὔρωστος καὶ καρτερὸς, καὶ οὐχὶ χαῦνος καὶ τρυφηλός. — Φθόνου δὲ) Οὐδεὶς δὲ φθονήσει σε. — Καὶ οὔποτε ἄπει) Ὥσπερ οἱ λεγόμενοι φιλόσοφοι πανταχῆσε περιερχόμενοι. Τὸ δὲ ῥῆμα ἄπειμι.

— Οὐδὲ ἐπὶ λόγ.) Καὶ οὐκ ἐπαινέσονταί σε δηλονότι ἐπὶ λόγοις, ἀλλ᾽ ἐπὶ ἔργοις μεγάλοις καὶ θαυμαστοῖς.

η. Ἔδειξε τὸν Δία) Τοῦ Ὀλυμπίου δηλονότι Διὸς τὸ ἄγαλμα· περὶ οὗ Κλήμης ὁ Ἀλεξανδρεὺς σελίδ. 19. B. φησί. »Τὸν μὲν οὖν Ὀλυμπιάσι Δία καὶ τὴν Ἀ»θήνησιν Παλλάδα ἐκ χρυσοῦ καὶ ἐλέφαν»τος κατασκευάσαι Φειδίαν παντί που »σαφές.« — Τὴν Ἥραν) Τὴν Ἀργείαν δηλ. περὶ ἧς Μάξιμος Τύριος λϛ΄. φησίν· οἵαν Πολύκλειτος Ἀργείοις ἔδειξε λευκώλενον Ἥραν.

2. Οὐ κλεινὸς . . . γέν.) Ἐννοεῖται ὁ Ἄν· οἷον· οὐκ ἂν κλεινὸς γένοιο.

3. Διαπταίουσα) Διακόπτουσα δηλ. τοὺς λόγους, καὶ οὐδὲ καθ᾽ Ἑλληνικὸν προφέρουσα τρόπον. — Ἀλλ᾽ οὐκ ἔτι μέμν.) Εἰκότως. Ἐπελάθου γὰρ εἰπὼν ὡς τὰ σχήματα τῶν φανέντων ἐντετυπωμένα τοῖς ὀφθαλμοῖς φέρεις, καὶ τὴν φωνὴν ἔναυλον.

2 γνωρίμη, εἰ καὶ μηδέπω εἰς τέλος μου πεπείρασαι. Ἠλίκα μὲν
οὖν τὰ ἀγαθὰ ποριῇ λιθοξόος γενόμενος, αὐτὴ προείρηκεν· οὐδὲν
γὰρ ὅτι μὴ ἐργάτης ἔσῃ, τῷ σώματι πονῶν, κἀν τούτῳ τὴν ἅπα-
σαν ἐλπίδα τοῦ βίου τεθειμένος, ἀφανὴς μὲν αὐτὸς ὢν, ὀλίγα
καὶ ἀγεννῆ λαμβάνων, ταπεινὸς τὴν γνώμην, εὐτελὴς δὲ τὴν πρό-
σοδον, οὔτε φίλοις ἐπιδικάσιμος, οὔτε ἐχθροῖς φοβερὸς, οὔτε τοῖς
πολίταις ζηλωτὸς· ἀλλ' αὐτὸ μόνον ἐργάτης, καὶ τῶν ἐκ τοῦ
πολλοῦ δήμου εἷς, ἀεὶ τὸν προὔχοντα ὑποπτήσσων, καὶ τὸν λέγειν
δυνάμενον θεραπεύων, λαγὼ βίον ζῶν, καὶ τοῦ κρείττονος ἕρμαιον
3 ὤν. Εἰ δὲ καὶ Φειδίας, ἢ Πολύκλειτος γένοιο, καὶ θαυμαστὰ πολ-
λὰ ἐξεργάσαιο, τὴν μὲν τέχνην ἅπαντες ἐπαινέσονται, οὐκ ἔστι
δὲ ὅστις τῶν ἰδόντων, εἰ νοῦν ἔχοι, εὔξαιτ' ἂν σοι ὅμοιος γενέσθαι·
οἷος γὰρ ἂν ᾖς, βάναυσος, καὶ χειρώναξ, καὶ ἀποχειροβίωτος
νομισθήσῃ.

ί. Ἢν δέ μοι πείθῃ, πρῶτον μέν σοι πολλὰ ἐπιδείξω παλαιῶν
ἀνδρῶν ἔργα, καὶ πράξεις θαυμαστὰς, καὶ λόγους αὐτῶν ἀ-
2 παγγέλλουσα, καὶ πάντων, ὡς εἰπεῖν, ἔμπειρον ἀποφαίνουσα· καὶ
τὴν ψυχὴν, ὅπερ σοι κυριώτατόν ἐστι, κατακοσμήσω πολλοῖς καὶ
ἀγαθοῖς κοσμήμασι, σωφροσύνῃ, δικαιοσύνῃ, εὐσεβείᾳ, πρᾳότητι,
ἐπιεικείᾳ, συνέσει, καρτερίᾳ, τῷ τῶν καλῶν ἔρωτι, τῇ πρὸς τὰ
σεμνότατα ὁρμῇ· ταῦτα γάρ ἐστιν ὁ τῆς ψυχῆς ἀκήρατος ὡς ἀ-
3 ληθῶς κόσμος. Λήσει δέ σε οὔτε παλαιὸν οὐδὲν, οὔτε νῦν γενέσθαι
δέον, ἀλλὰ καὶ τὰ δέοντα προόψει μετ' ἐμοῦ· καὶ ὅλως, ἅπαντα,
ὁπόσα ἐστὶ τά τε θεῖα, τά τε ἀνθρώπινα, οὐκ εἰς μακρὰν σε δι-
δάξομαι.

ιά. Καὶ ὁ νῦν πένης ὁ τοῦ δεῖνος, ὁ βουλευσάμενός τι περὶ

---

θ'. Εἰς τέλος) Ἕως τέλους.

2. Οὐδὲν γὰρ ὅτι μὴ) Οὐδὲν γὰρ ἄλλο ἀγαθὸν εὐπορήσεις σεαυτῷ ἢ ὅτι ἔσῃ ἐργάτης· τὸ ὅτι μὴ δηλαδὴ ἐξαιρετικόν· οἷον πλὴν τούτου ὅτι ἔσῃ ἐργ. — Κἀν τούτῳ) Τῷ σώματι δηλ. — Ταπεινὸς τὴν γνώμ. εὐτελὴς τὴν πρόσ.) Κατὰ τὴν γνώμην δηλαδὴ καὶ κατὰ τὴν πρόσοδον· ὡς ἐπεξήγησις ταῦτα τοῦ, ὀλίγα καὶ ἀγεννῆ λαμβάνων· τὸ μὲν ταπεινὸς πρὸς τὸ ἀγεννῆ· πρὸς τὸ ὀλίγα δὲ, τὸ εὐτελὴς τὴν πρόσοδ. — Φίλοις ἐπιδ.) Ἐν δίκαις δηλ. οὐκ ἂν εἴης βοηθὸς φίλων, ὥσπερ ῥήτωρ γενόμενος. — Λαγὼ βίον ζῶν) Λαγὼ βίον ζῆν λέγονται οἱ ἐν συνεχεῖ φόβῳ καθιστάμενοι, καὶ τι πείσεσθαι ἀεὶ προσδοκῶντες· καὶ ἔστι παροιμιώδης ὁ λόγος. — Ἕρμαιον ὤν) Ἕρμαιον λέγεται τὸ ἀπροσδόκητον κέρδος, ἤτοι ἀπὸ τῶν ἐν τριόδοις τεθειμένων ἀπαρχῶν τῇ Ἑκάτῃ, ἃς οἱ ὁδοιπόροι κατήσθιον· ἢ ἀπὸ τοῦ ἐν ἔθει λεγομένου, Κοινὸς Ἑρμῆς· ἐπὶ τῶν εὑρισκόντων τι· οἷον κοινὸν τὸ εὕρημα.

3. Οὐκ ἔστι δὲ ὅστις) Ἀντὶ Οὐδείς.

ί. Ἀπαγγέλλουσα) Διηγουμένη δηλονότι σοι τὰς θαυμαστὰς πράξεις, καὶ τοὺς θαυμαστοὺς λόγους αὐτῶν τῶν παλαιῶν ἀνδρῶν· πράξεις μὲν τῶν ἡρώων καὶ στρατηγῶν, λόγους δὲ τῶν σοφῶν.

2. Ὅπερ σοι κυριώτ.) Τὸ γὰρ κυριώτατον καὶ ἡγεμονικώτατον τἀνθρώπου μέρος ἐστὶν ἡ ψυχή.

3. Λήσει δέ σε) Τά τε γὰρ παλαιὰ εἴσῃ, καὶ ὅσα δέον γενέσθαι νῦν. — Διδάξομαι) Διὰ τῶν διδασκάλων δηλ. Διὰ ταῦτα δὴ καὶ τὴν φιλοσοφίαν θείων καὶ ἀνθρωπίνων πραγμάτων γνῶσιν ἐκάλεσαν.

ιά. Ὁ τοῦ δεῖνος) Ἐλλείπει, υἱός. Κατα-

ἀγεννοῦς οὕτω τέχνης, μετ᾽ ὀλίγον ἅπασι ζηλωτὸς καὶ ἐπίφθονος ἔσῃ, τιμώμενος καὶ ἐπαινούμενος, καὶ ἐπὶ τοῖς ἀρίστοις εὐδοκιμῶν, καὶ ὑπὸ τῶν γένει καὶ πλούτῳ προὐχόντων ἀποβλεπόμενος, ἐσθῆτα μὲν τοιαύτην ἀμπεχόμενος, (δείξασα τὴν ἑαυτῆς· πάνυ δὲ λαμπρὰν ἐφόρει·) ἀρχῆς δὲ καὶ προεδρίας ἀξιούμενος. Κἂν που 2
ἀποδημῇς, οὐδ᾽ ἐπὶ τῆς ἀλλοδαπῆς ἀγνὼς οὐδ᾽ ἀφανὴς ἔσῃ. τοιαῦτα σοι περιθήσω τὰ γνωρίσματα, ὥστε τῶν ὁρώντων ἕκα- 3
στος τὸν πλησίον κινήσας δείξει σε τῷ δακτύλῳ, Οὗτος Ἐκεῖνος, λέγων.

ιϐ΄. Ἂν δέ τι σπουδῆς ἄξιον ᾖ, καὶ τοὺς φίλους, ἢ καὶ τὴν πόλιν ὅλην καταλαμβάνῃ, εἰς σὲ πάντες ἀποβλέψονται· κἂν που τι λέγων τύχῃς, κεχηνότες οἱ πολλοὶ ἀκούσονται, θαυμάζοντες, καὶ εὐδαιμονίζοντές σε τῶν λόγων τῆς δυνάμεως, καὶ τὸν πατέρα τῆς εὐποτμίας. Ὃ δὲ λέγουσιν, ὡς ἄρα ἀθάνατοι γίγνονταί τινες ἐξ 2
ἀνθρώπων, τοῦτό σοι περιποιήσω. Καὶ γὰρ ἢν αὐτὸς ἐκ τοῦ βίου ἀπέλθῃς, οὔ ποτε παύσῃ συνὼν τοῖς πεπαιδευμένοις, προσομιλῶν τοῖς ἀρίστοις. Ὁρᾷς τὸν Δημοσθένην ἐκεῖνον, τίνος υἱὸν ὄντα ἐγὼ 3
ἡλίκον ἐποίησα; ὁρᾷς τὸν Αἰσχίνην, ὃς τυμπανιστρίας υἱὸς ἦν; ἀλλ᾽ ὅμως αὐτὸν δι᾽ ἐμὲ Φίλιππος ἐθεράπευσεν· ὁ δὲ Σωκράτης καὶ αὐτὸς ὑπὸ τῇ Ἑρμογλυφικῇ ταύτῃ τραφείς, ἐπειδὴ τάχιστα συνῆκε τοῦ κρείττονος, καὶ δραπετεύσας παρ᾽ αὐτῆς, ηὐτομόλησεν ὡς ἐμέ, ἀκούεις ὡς παρὰ πάντων ᾄδεται;

ιγ΄. Ἀφεὶς δὲ αὐτοὺς τηλικούτους καὶ τοιούτους ἄνδρας, καὶ πράξεις λαμπράς, καὶ λόγους σεμνούς, καὶ σχῆμα εὐπρεπές,

---

φροντικῶς δὲ λέγει τοῦτο.—Καὶ ἐπὶ τοῖς ἀρίστοις) Γνωριζόμενος, τοῖς ἀρίστοις προσομιλῶν, ὑπὸ τῶν ἀρίστων τιμώμενος.

3. Οὗτος ἐκεῖν.) Ὁ περίφημος δηλ. Λουκιανὸς, οὗ λόγος ἐπὶ παιδείᾳ πολύς.

ιϐ΄. Τῶν λόγων τῆς δυν.) Ἕνεκα τῆς δυνάμεως τῶν λόγων. — Τῆς εὐποτμίας) Καὶ τὸν πατέρα δηλ. θαυμάζοντες ἕνεκα τῆς ἀγαθῆς τοῦ τέκνου τύχης.

2. Τοῦτό σοι περιποιήσ.) Τὸ ἀθάνατον δηλ. γενέσθαι σε· γίνονται δὲ ἀθάνατοι ἄνθρωποι διὰ πράξεων καὶ συγγραμμάτων. — Ἢν ἐκ τοῦ βίου ἀπέλ.) Περιφραστικῶς ἀντὶ, ἀποθάνῃς.

3. Τίνος υἱὸν ὄντ.) Πλούταρχ. ἐν τῷ Δημοσθ. βίῳ. « Δημοσθένης, φησὶν, ὁ πατὴρ Δημοσθένους, ἦν μὲν τῶν καλῶν καὶ » ἀγαθῶν ἀνδρῶν, ὡς ἱστορεῖ Θεόπομπος, » ἐπεκαλεῖτο δὲ μαχαιροποιὸς, ἐργαστήριον ἔχων μέγα, καὶ δούλους τεχνίτας, » τοῦτο πράττοντας. — Ὃς τυμπανιστρ.) Ἀτρομήτου καὶ Γλαυκοθέας υἱὸς Αἰσχίνης, ὥς φησι Δημοσθένης ἐν τῷ περὶ Στεφάν. μά. Αὕτη δὲ τυμπανίστρια ἦν· ἤτοι χορεύτρια, ἥτις τύπτουσα τὸ τύμπανον ἐχόρευεν. — Ἐθεράπευσε) Ῥήτορα ὄντα· ὅθεν τὸ δι᾽ ἐμὲ· διὰ τὴν ῥητορικὴν δηλοῖ παιδείας εἶδος οὖσαν.

— Ὁ δὲ Σωκρ.) Ἐμάνθανε τὴν τοῦ πατρὸς τέχνην λιθοξόος εἶναι. — Ἐπειδὴ τάχιστα συνῆκ.) Συνεὶς δὲ τάχιστα τοῦ βελτίονος. Σημειούσθω ὅτι τοῦ Συνίημι, καὶ αἰτιατικῇ συντάσσεται· οἷον· εἶτα οὐ ξυνίοις τὴν ἐπίνοιαν τοῦ Θεοῦ. Ἀριστοφ. ἐν Πλουτ. στίχ. 4. καὶ γενικῇ· οἷον· μήτε τῆς ἀλλήλων φωνῆς συνιᾶσι Ἡρωδιαν. Δ΄. ι. 2 καὶ μετοχῇ· οἷον· οὐδὲ συνῆκα διὰ σὲ ἡδὺς γυναικὶ γενόμενος· Λουκ. Θεῶν διάλογ. καὶ κατ᾽ ἀνάλυσιν· οἷον· συνεὶς ὅτι. — Ὡς ἐμὲ) Ἐπὶ ἐμψύχων πολλάκις τὸ Ὡς, ἀντὶ προθέσεως λαμβάνεται τῆς πρὸς, πρὸς αἰτιατικὴν φερόμενον, καὶ κίνησιν σημαῖνον κατὰ τὴν πρός. — Ἄδεται) Φημίζεται, ἐπαινεῖται.

καὶ τιμὴν, καὶ δόξαν, καὶ ἔπαινον, καὶ προεδρίας, καὶ δύναμιν,
καὶ ἀρχὰς, καὶ τὸ ἐπὶ λόγοις εὐδοκιμεῖν, καὶ τὸ ἐπὶ συνέσει εὐ-
δαιμονίζεσθαι, χιτώνιόν τε πιναρὸν ἐνδύσῃ, καὶ σχῆμα δουλο-
πρεπὲς ἀναλήψῃ, καὶ μοχλεῖα, καὶ γλυφεῖα, καὶ κοπέας, καὶ
κολαπτῆρας ἐν ταῖν χεροῖν ἕξεις, κάτω νενευκὼς εἰς τὸ ἔργον,
2 χαμαιπετὴς, καὶ χαμαίζηλος, καὶ πάντα τρόπον ταπεινός· ἀνα-
κύπτων δὲ οὐδέποτε, οὐδὲ ἀνδρῶδες, οὐδὲ ἐλευθέριον οὐδὲν ἐπι-
νοῶν, ἀλλὰ τὰ μὲν ἔργα ὅπως εὔρυθμα καὶ εὐσχήμονα ἔσται
σοι προνοῶν, ὅπως δὲ αὐτὸς εὔρυθμός τε καὶ κόσμιος ἔσῃ, ἥ-
κιστα πεφροντικὼς, ἀλλ' ἀτιμότερον ποιῶν σεαυτὸν λίθων.

ιδ'. Ταῦτα ἔτι λεγούσης αὐτῆς, οὐ περιμείνας ἐγὼ τὸ τέλος
τῶν λόγων, ἀναστὰς ἀπεφηνάμην· καὶ τὴν ἄμορφον ἐκείνην καὶ
ἐργατικὴν ἀπολιπὼν, μετέβαινον πρὸς τὴν Παιδείαν μάλα γε-
γηθώς· καὶ μάλιστα ἐπεί μοι καὶ εἰς νοῦν ἦλθεν ἡ σκυτάλη, καὶ
ὅτι πληγὰς εὐθὺς οὐκ ὀλίγας ἀρχομένῳ μοι χθὲς ἐνετρίψατο.
2 Ἡ δὲ ἀπολειφθεῖσα τὸ μὲν πρῶτον ἠγανάκτει, καὶ τὼ χεῖρε συ-
νεκρότει, καὶ τοὺς ὀδόντας ἐνέπριε· τέλος δὲ, ὥσπερ τὴν Νιόβην
3 ἀκούομεν, ἐπεπήγει, καὶ εἰς λίθον μετεβέβλητο. Εἰ δὲ παράδοξα
ἔπαθε, μὴ ἀπιστήσητε· θαυματοποιοὶ γὰρ οἱ ὄνειροι.

ιε'. Ἡ ἑτέρα δὲ πρός με ἀπιδοῦσα, τοιγαροῦν ἀμείψομαί σε,
2 ἔφη, τῆσδε τῆς δικαιοσύνης, ὅτι καλῶς τὴν δίκην ἐδίκασας. Καὶ
ἐλθὲ ἤδη, ἐπίβηθι τούτου τοῦ ὀχήματος, (δείξασά τι ὄχημα
ὑποπτέρων ἵππων τινῶν, τῷ Πηγάσῳ ἐοικότων) ὅπως ἴδῃς, οἷα
3 καὶ ἡλίκα μὴ ἀκολουθήσας ἐμοὶ ἀγνοήσειν ἔμελλες. Ἐπεὶ δὲ ἀ-
νῆλθον, ἡ μὲν ἤλαυνε, καὶ ὑφηνιόχει· ἀρθεὶς δὲ εἰς ὕψος ἐγὼ

---

ιγ'. Καὶ πάντα τρόπον ταπ.) Κατ' ἔλλειψιν τῆς Κατά.

2. Οὐδὲ ἀνδρ. οὐδὲ ἐλευθ.) Οὔτε ἐπινοῶν οὐδέν· δύο ἀρνήσεις ἀντὶ μιᾶς Ἀττικῶς· κοινῶς γὰρ ἂν ἦν. Ἀνδρῶδες δὲ ἢ ἐλευθέριον οὐδὲν ἐπινοῶν. — Τὰ μὲν ἔργα) Οὕτω Σωκράτης παρὰ Διογ. Λαερ. »ἔλεγέ τε θαυμάζειν τῶν τὰς λιθίνους »εἰκόνας κατασκευαζομένων, τοῦ μὲν λί»θου προνοεῖν ὡς ὁμοιότατος ἔσται, αὐ»τῶν δὲ ἀμελεῖν, ὡς μὴ ὁμοίους τῷ λίθῳ »φαίνεσθαι. Καὶ Κλήμ. Ἀλεξ. Ἀλλ' ὑ»μεῖς, ὅπως ποτὲ ὁ ἀνδριὰς ὅτι μάλιστα »ὡραιότατος τεκταίνηται, προσκαρτε»ρεῖτε· ὅπως δὲ αὐτοὶ μὴ ὅμοιοι δι' ἀναι»σθησίαν τοῖς ἀνδριάσιν ἀποτελῆσθε, οὐ φροντίζετε.«

ιδ'. Ἐνετρίψ.) Ὁ θεῖος δηλ. Ἔστι δὲ καὶ τὴν Ἑρμογλυφικὴν, εἰ δοκεῖ, ἐννοεῖν.

2. Ὥσπερ τὴν Νιόβ.) Νιόβη θυγάτηρ Ταντάλου, γυνὴ Ἀμφίονος, τεσσαρακαίδεκα τέκνα ἔχουσα, ἐτόλμησε τῇ Λητοῖ περὶ εὐτεκνίας ἐρίσαι· ὀργισθεῖσα δὲ ἡ θεὰ ἐπὶ τούτῳ προσέταξεν Ἀπόλλωνι καὶ Ἀρτέμιδι τὰ τέκνα τῆς Νιόβης κτεῖναι· ὅθεν ὑπὸ τῆς λύπης εἰς λίθον μετεβλήθη κλαίουσα ἡ Νιόβη.

ιε'. Τὴν δίκην ἐδίκ.) Ἔκρινας. Ἀττικὸν δὲ τοῦτο τὸ προστιθέναι τὸ σύστοιχον ὄνομα τῷ ῥήματι ἐν εἴδει περιφράσεως.

2. Τῷ Πηγάσ.) Ἵππος ὑπόπτερος μυθολογεῖται ὁ Πήγασος, ἐκ τῆς κεφαλῆς γεννηθεὶς τῆς Μεδούσης μιᾶς τῶν Γοργόνων, ὁπότε ἔτεμεν αὐτῆς τὴν κεφαλὴν Περσεὺς, ἐφ' οὗ ἐπιβὰς ἔλυσε τὴν Ἀνδρομέδαν τὴν Κηφέως ἐκτεθειμένην εἰς βορὰν θαλασσίῳ θηρίῳ· ἐπὶ τούτου Βελλεροφόντης ἐπιβὰς τὴν Χίμαιραν κατέπαλαισεν. Ἀπολλόδ. Β. γ'. 2.

ἐπεσκόπουν, ἀπὸ τῆς ἕω ἀρξάμενος, ἄχρι πρὸς ἑσπέραν, πόλεις,
καὶ ἔθνη, καὶ δήμους, καθάπερ ὁ Τριπτόλεμος ἀποσπείρων τι
ἐς τὴν γῆν. Οὐκέτι μέντοι μέμνημαι ὅ,τι τὸ σπειρόμενον ἐκεῖνο 4
ἦν· πλὴν τοῦτο μόνον, ὅτι κάτωθεν ἀφορῶντες οἱ ἄνθρωποι ἐπῄ-
νουν, καὶ μετ' εὐφημίας, καθ' οὓς γενοίμην τῇ πτήσει, παρέπεμπον.

ιϛ΄. Δείξασα δέ μοι τὰ τοσαῦτα, κἀμὲ τοῖς ἐπαινοῦσιν ἐκείνοις,
ἐπανήγαγεν αὖθις, οὐκέτι τὴν αὐτὴν ἐσθῆτα ἐκείνην ἐνδεδυκότα,
ἣν εἶχον ἀφιπτάμενος· ἀλλ' ἐμοὶ ἐδόκουν εὐπάρυφός τις ἐπα-
νήκειν. Καταλαβοῦσα οὖν καὶ τὸν πατέρα ἑστῶτα καὶ περι- 2
μένοντα, ἐδείκνυεν αὐτῷ ἐκείνην τὴν ἐσθῆτα, κἀμέ, οἷος ἥκοιμι·
καί τι καὶ ὑπέμνησεν, οἷα μικροῦ δεῖν περὶ ἐμοῦ ἐβουλεύσατο.
Ταῦτα μέμνημαι ἰδών, ἀντίπαις ἔτι ὤν, ἐμοὶ δοκεῖ ἐκταραχθεὶς 3
πρὸς τὸν τῶν πληγῶν φόβον.

ιζ΄. Μεταξὺ δὲ λέγοντος, Ἡράκλεις, ἔφη τις, ὡς μακρὸν τὸ
ἐνύπνιον, καὶ δικανικόν. Εἶτ' ἄλλος ὑπέκρουσε, χειμερινὸς ὄνει- 2
ρος, ὅτι μήκισταί εἰσιν αἱ νύκτες· ἢ τάχα που τριέσπερος,
ὥσπερ ὁ Ἡρακλῆς καὶ αὐτός ἐστι. Τί δ' οὖν ἐπῆλθεν αὐτῷ λη- 3
ρῆσαι ταῦτα πρὸς ἡμᾶς, καὶ μνησθῆναι παιδικῆς νυκτός, καὶ
ὀνείρων παλαιῶν, καὶ ἤδη γεγηρακότων; ἕωλος γὰρ ἡ ψυχρο-
λογία· μὴ ὀνείρων ἡμᾶς ὑποκριτάς τινας ὑπείληφεν; Οὐκ
ὦ 'γαθέ. Οὐδὲ γὰρ ὁ Ξενοφῶν ποτε διηγούμενος τὸ ἐνύπνιον, ὡς 4
ἐδόκει αὐτῷ καὶ ἐν τῇ πατρῴᾳ οἰκίᾳ, καὶ τὰ ἄλλα, (ἴστε γὰρ)

---

— Ἄχρι πρὸς ἑσπ.) Μέχρις ἑσπέρας, ἢ ἄχρ. τῆς γῆς τῆς πρὸς ἑσπέραν· οἷον· Ἀρξάμενος ἀπὸ τῆς ἕω μέχρι τῆς πρὸς ἑσπέραν γῆς ἐπεσκόπουν πόλ. — Ἀποσπείρων τι) Δημήτηρ εἰς Ἐλευσῖνα ἐλθοῦσα, ἔτυχεν ὑποδοχῆς ὑπὸ Κελεοῦ τοῦ τότε ἐκεῖ βασιλεύοντος· τούτου υἱὸς ἦν Τριπτόλεμος· ᾧ κατασκευάσασα ἡ Δημήτηρ δίφρον πτηνῶν δρακόντων, πυρὸν ἔδωκεν, ᾧ τὴν ὅλην οἰκουμένην δι' οὐρανοῦ αἰρόμενος κατέσπειρεν, Ἀπολλόδ. Α. ε. 2.

4. Παρέπεμπον) Ἐκεῖνοι καθ' οὓς γεν.

ιϛ΄. Ἐνδεδυκότα) Ἐνδεδυμένον δηλ. τὸ μέσον ἀντὶ τοῦ παθητικοῦ· οἱ γὰρ παρακείμενοι τῶν μέσων πλέον ῥέπουσιν ἐπὶ τὸ παθητικόν· τὸ ῥῆμα Ἐνδύω. — Ἀλλ' ἐμοὶ ἐδόκ.) Τὸ ἐδόκουν Ἀττικὸν ἀντὶ τοῦ ἐδόκει· λέγεται γὰρ κοινῶς μέν, ἐμοὶ δοκεῖ· Ἀττικῶς δέ, δοκῶ μοι. Ἐδόκουν δὲ εὐπάρυφός τινι ἐσθῆτι καὶ τῶν, αἷς οἱ ἐν ἀξίᾳ ἀμπέχονται, ἐπανελθεῖν.

2. Μικροῦ δεῖν) Οἷα μικροῦ ἐδέησε βουλεύσασθαι περὶ ἐμοῦ.

3. Ἀντίπ. ἔτι ὤν) Τελέσας τὴν παιδικὴν ἡλικίαν. — Ἐμοὶ δοκ.) Ἴσως κατὰ τὸ ἐμοὶ δοκοῦν· ἐπειδὴ ἐξεταράχθην πρὸς τὸν φόβ.

ιζ΄. Δικανικὸν) Δηλ. ὥσπερ οἱ δικανικοὶ λόγοι, ἢ γοῦν φορτικὸν ἀκούειν. Πλάτ. ἐν ἀπολ. Ἐρῶ δὲ ὑμῖν φορτικὰ μέν, καὶ δικανικά, ἀληθῆ δέ.

2. Τριέσπερ.) Ζεὺς διὰ νυκτὸς ἐλθὼν εἰς Ἀλκμήνην τὴν Ἀμφιτρύονος γυναῖκα, ὁμοιωθεὶς αὐτῷ, καὶ τὴν μίαν νύκτα τριπλασιάσας συνευνάσθη· καὶ ἐγεννήθη αὐτῷ υἱὸς Ἡρακλῆς· ὃς διὰ τοῦτο τριέσπερος λέγεται.

3. Ἕωλος γὰρ ἡ ψυχρ.) Ἀνωφελὴς γάρ ἐστιν ἡ ψυχρ. — Ὑποκριτ.) Ἑρμηνευτάς, ἐξηγητάς.

4. Οὐδὲ γὰρ ὁ Ξενοφ.) Ἐλήρησε δηλ. — Καὶ ἐν τῇ πατρ.) Ἐνταῦθα δοκεῖ ἐλλείπειν τό, Σκηπτὸς πεσεῖν, πρὸς τὸ πλῆρες τῆς συντάξεως· ὡς ἔστιν ἐκ τῶν τοῦ Ξενοφῶντος κατανοῆσαι. Ἵν' ᾖ· ὡς ἐδόκει αὐτῷ καὶ σκηπτὸς πεσεῖν ἐν τῇ πατρῴᾳ οἰκίᾳ, καὶ τ' ἄλλα συμβῆναι, ὅσα Ξενοφῶν διηγεῖται. — Ἴστε γάρ) Ἀναγνόντες δηλ. τὴν ἀνάβασιν Κύρου· ἔνθα Γ. α. 9 φησὶν ὅτι μικρὸν ὕπνου λαχών, εἶδεν ὄναρ. Ἔδοξεν αὐτῷ, βροντῆς γενομένης, σκηπτὸς

οὐχ ὑπόκρισιν τὴν ὄψιν, οὐδὲ ὡς φλυαρεῖν ἐγνωκὼς αὐτὰ διεξήει· καὶ ταῦτα ἐν τῷ πολέμῳ, καὶ ἀπογνώσει πραγμάτων, περιεστώτων πολεμίων· ἀλλά τι καὶ χρήσιμον εἶχεν ἡ διήγησις.

ιη΄. Καὶ τοίνυν κἀγὼ τοῦτον ὄνειρον ὑμῖν διηγησάμην ἐκείνου
ἕνεκα, ὅπως οἱ νέοι πρὸς τὰ βελτίω τρέπωνται, καὶ παιδείας
ἔχωνται· καὶ μάλιστα, εἴ τις αὐτῶν ὑπὸ πενίας ἐθελοκακεῖ, καὶ
πρὸς τὰ ἧττω ἀποκλίνει, φύσιν οὐκ ἀγεννῆ διαφθείρων. Ἐπιρ- 2
ρωσθήσεται εὖ οἶδ' ὅτι κἀκεῖνος, ἀκούσας τοῦ μύθου, ἱκανὸν ἑαυ-
τῷ παράδειγμα ἐμὲ προστησάμενος, ἐννοῶν οἷος μὲν ὢν πρὸς
τὰ κάλλιστα ὥρμησα, καὶ παιδείας ἐπεθύμησα, μηδὲν ἀποδει-
λιάσας πρὸς τὴν πενίαν τὴν τότε, οἷος δὲ πρὸς ὑμᾶς ἐπανελήλυ-
θα, εἰ καὶ μηδὲν ἄλλο, οὐδενὸς γοῦν τῶν λιθογλύφων ἀδοξότερος.

# ΕΚ ΤΩΝ ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΔΙΑΛΟΓΩΝ.

## Α΄. ΕΥΘΥΦΡΩΝ, Η ΠΕΡΙ ΟΣΙΟΥ (*).

### ΠΕΙΡΑΣΤΙΚΟΣ.

### Εὐθύφρων, καὶ Σωκράτης.

α΄. Τί νεώτερον, ὦ Σώκρατες, γέγονεν, ὅτι σὺ τὰς ἐν Λυκείῳ καταλιπὼν διατριβὰς ἐνθάδε νῦν διατρίβεις, περὶ τὴν τοῦ βασιλέως στοάν; οὐ γάρ που καὶ σοί δίκη τις οὖσα τυγχά-

---

πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν. — Οὐχ ὑπόκρ. τὴν ὄψ.) Ἐννοεῖται· οὖσαν· ἵν' ᾖ· ἴστε γὰρ ὅτι ἡ ὄψις ἐκείνη οὐκ ἦν ὑπόκρισις, οὐδὲ διεξήει ταῦτα Ξενοφῶν, ὡς φλυαρεῖν ἐγνωκώς. — Καὶ ταῦτα) Διεξήει ἐν τῷ πολέμῳ· ὅτι, τῶν στρατηγῶν καταληφθέντων καὶ ἀναιρεθέντων, ἐν μέσῳ κατελείφθησαν Ἕλληνες ὡς μύριοι πολεμίων ἀπειραρίθμων.

ιη΄. Τοῦτον ὄν.) Ἀνάρθρως διὰ τὴν Ἀντωνυμίαν. — Ἐθελοκακ.) Πένης δηλ. ὤν, οὐ σπεύδει πρὸς παιδείαν, καὶ διαφθείρει φύσιν εὐφυῶς τυχὸν πρὸς παιδείαν ἔχουσαν

2. Εὖ οἶδ' ὅτι) Τὸ παρ' ἡμῖν εἶμαι πληροφορημένος. — Εἰ καὶ μηδὲν ἄλλο) Μέγα δηλ. εἰμί· ἀλλ' οὖν οὐκ εἰμὶ ἀδοξότερός τινος τῶν λιθογλύφων· τὸ γοῦν ἐναντιωματικόν ἐστι δὲ καὶ ἐλαττωτικόν πως.

(*) Εὐθύφρων μὲν ἐπιγράφεται ὁ διάλογος οὗτος, ὅτι Εὐθύφρονά τινα εἰσάγει διαλεγόμενον Σωκράτει περὶ Ὁσίου. Πειραστικὸς δέ, ὅτι πειρᾶται Σωκράτης Εὐθύφρονος κατὰ τοῦ πατρὸς ἔγκλημα ἀνθρωποκτονίας ἐπάγοντος.

α΄. Νεώτερον) Ἐνταῦθα τὸ συγκριτικὸν ἀντὶ ἁπλῶς θετικοῦ λαμβάνεται· ἔθος δὲ τοῦτο παρ' Ἕλλησι. — Διατριβὰς) Τὰς συνομιλίας λέγει τοῦ Σωκράτους μετὰ τῶν σοφιστῶν. Ἔθος γὰρ ἦν Σωκράτει ἐν τῷ Λυκείῳ, γυμνάσιον δὲ τοῦτο ἐν Ἀθήναις, συνεχῶς διατρίβειν ἕνεκεν τῶν σοφιστῶν τῶν ἐκεῖ διδασκόντων· ἵν' ἐλέγχῃ αὐτῶν τὴν ἀμαθίαν· καὶ ἐπειδὴ πολλοὶ νέοι ἐκεῖ ἐτύγχανον, τοῖς ἑαυτοῦ λόγοις ἤτοι διεγείρῃ, ἢ παρορμᾷ πρὸς ἀρετήν. Αἰσχ. Σωκρ. Β΄. ις΄. — Τὴν τοῦ βασιλέως στοὰν) Στοὰ ἦν ἐν τῇ ἀγορᾷ ἐν Ἀθήναις βασίλειος καλουμένη, ἥ φησι Πολυδεύκης Η΄. ἀπὸ τοῦ δευτέρου ἄρχοντος βασιλέως καλουμένου· πλησίον τῆς στοᾶς τοῦ Διὸς τοῦ ἐλευθερίου· ταύτην Πλάτων βασιλέως στοὰν λέγει. — Πρὸς τὴν βασιλ.) Ὁ γὰρ βασιλεὺς οὐ μόνον μυστηρίων προέστηκε καὶ ἀγώνων, καὶ τὰ περὶ θυσίας διῴκει, ἀλλ' ἐδίκαζε καὶ ἀσεβείας, καὶ φόνου. Πολυδεύκ. Η΄. ὅθεν ὁ μὲν Σωκράτης ἐκεῖ διέτριβεν, ὡς ὑπὸ Μελί-